ἴδῃ μετ' ἀγχινοίας ποῦ διάγουσιν οἱ πολέμιοι. καὶ φέρῃ σοι ἐν τάχει ἀπόκρισιν. ἂν
δὲ ἔλθωσι οἱ σκοποὶ κατασκοπήσωσι καὶ εἴπωσιν ὅτι οὐκ ἔστι σόρευμα στρατοῦ εἰς τὴν χώραν τῶν
ἐχθρῶν. ἀλλὰ ἔχει ἀμεριμνησίαν, τότε ἂν γένηται ὀπισθόκουρσον εἰς τὰς πολεμίας χώρας
τῆς κουρσευθείσης γῆς, κάλλιον ἔχει γενέσθαι παράταξιν πρὸς τὴν ἐπιδρομήν. πλὴν
ἀφ' οὗ γένηται ἡ πρώτη ἐπιδρομὴ τοῦ κούρσου, ἁρμόζει ἀναπαῦσαι τὸν λαὸν καὶ τὰ ἄλογα
ὡς ἄχρι τριῶν ἡμερῶν, ἢ καὶ πλέον. καὶ οὕτως ἵνα ἀποκινήσεις περιπατεῖν εἰς τὴν
ἡμετέραν γῆν. καὶ ἵνα περιπατήσῃς μονὰς ὅσας θέλεις. καὶ τότε ἐξαίφνης ἵνα ὑποστρέ-
ψῃς. καὶ ποιήσεις τὸ ὀπισθόκουρσον, εἴτε εἰς νύκτα ἁρμόζει γενέσθαι αὐτό εἴτε εἰς
ἡμέραν. χωροβατῶν δὲ τὴν πολεμίαν γῆν, ὀφείλεις ἐμπυρίζειν τὰς χώρας καὶ τὰς
πολιτείας αὐτῆς. καὶ καταλύειν τὰ οἰκήματα καὶ τὰ γεννήματα καὶ τὰς βοσκάς. πλὴν εἰς
τὸν τόπον ὃν μέλλεις, ὑποστρέψαι καὶ ἀναπαῦσαι τὸν στρατόν, μὴ καύσῃς ἐκεῖ τὰς βοσκὰς
καὶ τὸν σῖτον. ἀλλὰ φύλαξον αὐτὰ μᾶλλον ἀνέγγιστα. πρὸς τὸ εὑρίσκειν τὸν λαὸν τρο-
φὴν αὐτοῦ. καὶ τῶν ἱππαρίων αὐτῶν. ἀφόρισον δὲ μερίδας ἀπὸ τῆς αἰχμαλωσίας καὶ τῆς
πραίδας, καὶ ἀπὸ τῶν λοιπῶν πραγμάτων τῶν κρατηθέντων λέγω τῶν πεζικοῦ
σκουτάτων εἰς τὸ κοῦρσον. καὶ τῶν ψιλῶν καὶ τῶν καταφράκτων καβαλλαρίων τῶν
ὑπομενόντων πρὸς φύλαξιν τοῦ φοσσάτου. καὶ τύπωσον τοῦ λαμβάνειν αὐτοὺς ταῦτα ἐκ
τοῦ καβαλλαρικοῦ στρατεύματος πρὸς τὸ γενέσθαι αὐτοὺς μᾶλλον προθυμοτέρους εἰς τὴν φύλαξιν τοῦ φοσσάτου:—

Τίνι τρόπῳ δὲ ἀποκινεῖσθαι ἀπὸ τοῦ ἀπλήκτου ἵνα ποιήσῃ πόλεμον καθολικόν, καὶ
ἵνα ἐξῇ προγινώσκομεν:—

Ὅταν ὑπάρχῃ εἰς τὴν πολεμίαν γῆν. καὶ μέλλεις ἀποκινεῖν ἀπὸ ἀπλήκτου καὶ ὦσι πλη-
σίον ἐχθροὶ καὶ φαίνονται ἐγγὺς τοῦ φοσσάτου ἂν ὑπάρχῃ πολὺς λαὸς τὸ στράτευμα,
τῶν ἐχθρῶν. καὶ ἔχωσι τὴν ὁρμὴν αὐτῶν πρὸς τὸ στράτευμα. ἢ μὴν καὶ ζητῶσι πο-
λεμον, οὐ πρέπει ἵνα ἀπολυθῇ ὁ στρατὸς ἀπὸ τοῦ ἀπλήκτου. καὶ ἄρξηται περιπατεῖν.
ἀλλ' ἵνα ὑπάρχῃ εἰς τὸ ἄπληκτον. καὶ αἱ πεζικαὶ παρατάξεις καθὼς εἰσὶ γύρωθεν τοῦ φω-
σάτου, ἵνα ἑτοιμάζωνται πρὸς πόλεμον ἀπαραλλάκτως ὡς προείπομεν. καὶ ἵνα στήκωσι γύρω-
θεν τοῦ ἀπλήκτου αἱ δὲ καβαλλαρικαὶ παρατάξεις, ἵνα ἐξέρχωνται ἔξωθεν τοῦ φοσσάτου, καὶ
παρατάσσονται καθὼς περὶ αὐτῶν προείπομεν. στηκέτωσαν δὲ ὄπισθεν τῶν καβαλλαρι-
κῶν παρατάξεων. καὶ πεζοὶ ῥιπταρισταί. καὶ τοξόται. καὶ σφενδοβολισταί. πλὴν μὴ ἔστωσαν
μακρὰν ἀπὸ τῶν πεζῶν. καὶ ἂν μὲν ὁρμήσωσιν οἱ ἐχθροὶ πρὸς τὸ στράτευμα ἡμῶν,
ἁρμόζει τὰς καβαλλαρικὰς παρατάξεις, ποιεῖν τὴν ὁρμὴν τοῦ πολέμου καθὼς ἀνωτέ-
ρω εἴπομεν. εἰ δὲ στήκωνται οἱ ἐχθροὶ καὶ οὐκ ἐξέρχονται πρὸς τὸ ἡμέτερον στράτευμα, εἰ
οὐκ ἔστι ὑποψία ὅτι πολὺς λαός εἰσιν οἱ ἐχθροί, ἀλλ' εἴτε παρακατασκόπων εἴτε παρὰ
προσφύγων πληροφορηθῇς πόση ἐστὶν ἡ δύναμις αὐτῶν, ἂν μὲν ὦσι πολλοὶ ὀλιγώτεροι
παρὰ τὸ ἡμέτερον στράτευμα, ἁρμόζει ἀποκινῆσαι ἐκ τοῦ ἀπλήκτου ὅλον τὸν στρατὸν
μετὰ λαοῦ. καὶ μετὰ τάξεως καὶ μετὰ τῶν εἰρημένων παρατάξεων καὶ ὁρμῆς κατὰ τῶν
ἐχθρῶν. καὶ ἔμπροσθεν μὲν ἵνα περιπατῶσιν αἱ καβαλλαρικαὶ παρατάξεις, ὄπισθεν
δὲ αἱ πεζικαί. καὶ τοῦ θεοῦ συνεργοῦντος ἂν τραπῶσιν οἱ ἐχθροὶ ἵνα ποιήσωσιν οἱ
ἡμέτεροι τὴν δίωξιν αὐτῶν μετὰ τάξεως. καθὼς λεπτομερῶς προείπομεν. εἶτα μετὰ
χαρᾶς καὶ νίκης καὶ εὐφημίας βασιλικῆς, ἵνα ἄρξωνται περιπατεῖν. ἂν δὲ φανῶσιν οἱ
ἐχθροὶ ἀπὸ μακρόθεν καὶ ὦσιν ὀλίγοι μὴ κωλυθῇ τὸ φοσσάτον εἰς τὴν ὁδὸν αὐτοῦ.
ἀλλὰ μετὰ τάξεως περιπατείτωσαν. οἱ μὲν τὸ δεξιὸν μέρος, οἱ δὲ τὸ ἀριστερόν, οἱ δὲ ἔμ-
προσθεν, οἱ δὲ ὄπισθεν σιμά. σὺ δὲ ὀφείλεις περιπατεῖν εἰς τὸ μέσον ἵνα εἰς ὅλον μέρος
ἀπέλθωσιν οἱ ἐχθροί, παρέχῃς βοήθειαν πρὸς αὐτό. καὶ εἰ μὲν ἔστι πεδινὸς καὶ ἐπιτήδειος
ὁ τόπος περιπατείτωσαν ἔξωθεν τῶν πεζικῶν παρατάξεων, οἱ πλαγιοφύλακες καὶ οἱ ὀπι-
σθοφύλακες ὁμοίως καὶ οἱ ὄντες ἔμπροσθεν εἰς τὸ μέσον. ἔσωθεν δὲ αὐτῶν περιπατείτωσαν μετὰ
τάξεως αἱ πεζικαὶ παρατάξεις τρεῖς χιλίαρχοι, μετὰ τοῦ πεζικοῦ αὐτῶν εἰς τὸ δεξιὸν μέρος. καὶ τρεῖς εἰς
τὸ ἀριστερὸν καὶ τρεῖς ἔμπροσθεν εἰς τὸ μέσον, καὶ τρεῖς ὄπισθεν εἰς τὴν οὐράν, πλὴν μὴ περιπατῶσιν
ἐνδεδυμένοι τὰ ἅρματα αὐτῶν οἱ πεζικοὶ ἀλλὰ οἱ ἔχοντες βορδόνια, εἴτε ἄλογα, εἴτε ὀνικά,